www.e-rara.ch

# Sancti Patris Nostri Basilii Magni Cæsareæ Cappadociæ Archiepiscopi, Opera Omnia, Qvæ Reperiri Potvervnt

**Basilius**

**Parisiis, M. DCXVIII**

**Zentralbibliothek Zürich**

Persistent Link: https://doi.org/10.3931/e-rara-136415

Homilia XXXI. De libero arbitrio sermo.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

## ΟΜΙΛΙΑ ΛΑ'.

## ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ.

ΟΙΣ ἐνυπάρχει ὁ θεῖος νόμος οὐκ ἐν μέλανι καὶ γράμμασιν ἐγκεχαραγμένος, ἀλλ' ἐν πνεύματι Θεοῦ ζῶντος, καὶ οὐκ ἐν πλαξὶ λιθίναις ἐντετυπωμένος, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐμπεφυτευμένος· οὗτοι τοὺς τῆς διανοίας ὀφθαλμοὺς φωτισθέντες, καὶ ἀεὶ ὀρεγόμενοι οὐ τῆς αἰσθητῆς καὶ βλεπομένης ἐλπίδος, ἀλλὰ τῆς νοητῆς, ἴσασιν ἀκριβῶς, ὡς οὐκ ἐκ τῆς οἰκείας αὐτῶν ἰσχύος περιγενέσθαι τῶν τοῦ πονηροῦ σκανδάλων δυνατόν· ἀλλ' ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Θεοῦ. οἱ δὲ μὴ λόγῳ Θεοῦ τετιμημένοι, ἀλλ' εἰκῇ φυσιούμενοι, οἴονται διὰ τοῦ ἰδίου αὐτεξουσίου καταργεῖν τὰς ἀφορμὰς τῆς ἁμαρτίας, τῆς διὰ μόνου τοῦ μυστηρίου τοῦ σταυροῦ καταργουμένης. τὸ γὰρ ἐν τῇ τοῦ ἀνθρώπου δυνάμει αὐτεξούσιον, ἐπὶ τῷ ἐλέσθαι ἢ μὴ ἐλέσθαι τῷ διαβόλῳ ἀντιστῆναι κεῖται, οὐκ ἐπὶ τῷ δύνασθαι παντελῶς ἔχειν τὸ κράτος κατὰ τῶν παθῶν. ἐὰν γὰρ μὴ ὁ κύριος φυλάξῃ πόλιν, ἢ οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἀγρυπνεῖ ὁ φυλάσσων, καὶ κοπιᾷ ὁ οἰκοδομῶν. ἀμήχανον γὰρ ἐπιβῆναι ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ καταπατῆσαι λέοντα καὶ δράκοντα, μὴ πρότερον, καθὸ δυνατὸν ἀνθρώπῳ, ἐκκαθάραντα ἑαυτὸν, δυναμωθῆναι παρὰ τοῦ εἰπόντος τοῖς ἀποστόλοις· ἰδοὺ δέδωκα ὑμῖν δύναμιν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. εἰ γὰρ ἴσχυεν ἡ τῆς ἀνθρωπότητος φύσις, ἐκτὸς τῆς τοῦ ἁγίου πνεύματος πανοπλίας, στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, οὐκ ἂν εἴρητο παρὰ τοῦ ἀποστόλου, ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. καὶ πάλιν· ὃν ὁ κύριος Ἰησοῦς ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. διὸ δὴ καὶ προσετάχθημεν δέεσθαι τοῦ κυρίου, μὴ εἰσελθεῖν ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐὰν γὰρ μὴ διὰ τῆς κρείττονος βοηθείας ῥυσθέντες τῶν πεπυρωμένων βελῶν τοῦ

## HOMILIA XXXI.

## *DE LIBERO ARBITRIO SERMO.*

QVIBVS ineſt diuina lex, non atramento & literis inſcripta, ſed ſpiritu Dei viuentis, nec tabulis lapideis impreſſa, ſed tabulis cordis carnalibus inſita; illi mentis oculis illuminati, ac ſemper, non ſenſibili aut viſibili, ſed ſpiritali ſpe affecti, exactè ſciunt, quàm impoſſibile ſit propriis viribus offendicula verſuti hoſtis vincere, niſi inſuperabilis potentia Dei ſuccurrat. Qui verò verbi Dei honore cumulati non ſunt, ij fruſtra inflati, libero ſe putant arbitrio peccati occaſiones abolere poſſe, quod per ſolum crucis myſterium aboletur. Liberum enim illud quod in poteſtate hominis eſt arbitrium, in eo ſitum eſt, vt velis vel nolis reſiſtere diabolo, non in eo quòd poſſit penitus aduerſus affectiones imperium obtinere. Niſi enim Dominus cuſtodierit ciuitatem, aut ædificauerit domum, fruſtra vigilat cuſtos, & fruſtra laborat ædificans. Impoſſibile namque eſt ambulare ſuper aſpidem & baſiliſcum, & calcare leonem & draconem, eum, qui non prius ſeipſum, quatenus homini poſſibile eſt, repurgauit, vt poſſit corroborari ab eo qui Apoſtolis dixit: Ecce dedi vobis poteſtatem calcare ſupra ſerpentes & ſcorpiones, & ſupra omnem virtutem inimici. Siquidem enim humana natura extra Spiritus ſancti armaturam diaboli inſidiis reſiſtere poſſet, vtique ab Apoſtolo dictum non eſſet: Deus autem pacis conteret Sathanam ſub pedes veſtros breui. Et iterum: Quem Dominus Ieſus interficiet ſpiritu oris ſui. Quapropter & iuſſi ſumus precari dominum, ne ingrediamur in tentationem, ſed vt liberet nos à malo. Niſi enim potentiori auxilio ab ignitis mali hoſtis iaculis liberati, adoptionem

2.Cor.3. Pſal.126. Pſal.90. Luc.10.19. Rom.16. 2.Theſſ.2.

filiorum Dei promeruerimus, inanis erit conuerſationis noſtræ conatus, vtpote procul à virtute crucis diſſitus. Itaque qui diuinæ gloriæ particeps eſſe, & quaſi in mundo quodam ſpeculo formam Chriſti menti ſuæ infuſam videre cupit, opus habet, vt amore inſatiabili, & animi affectu inexplebili, ex omni corde & virtute, noctes atque dies, diuinæ potentiæ auxilium ambiat, cuius participem fieri impoſſibile eſt, niſi eum, vt prædiximus iam, qui prius fuerit alienus à mundanarum voluptatum mollitie & concupiſcentiis aduerſariæ poteſtatis, quæ à lumine & bona operatione remota eſt, & extorris atque omnino peregrina. Si cupis igitur cognoſcere, cuius gratia conditi, inque paradiſum locati, inſipientibus tandem animantibus comparati & aſſimilati ſimus, ab immaculata illa gloria relapſi: ſciendum eſt, quòd quoniam per inobedientiam ſerui carnalium concupiſcentiarum facti ſumus, nos ipſos à beata viuentium regione extorres reddidimus, atque ita in captiuitatem abducti ad
Pſal. 136. flumina Babylonis adhuc ſedemus. Et quoniam adhuc in Ægypto detinemur, promiſſionis terram nondum ſortiti ſumus, lacte ac melle ſcaturientem. Nondum fermento ſynceritatis confermentati ſumus, ſed adhuc fermento nequitiæ occupamur. Nondum adſperſum eſt cor noſtrum ſanguine Agni Dei: adhuc enim illi laqueus inferni & hamus malitiæ infixus eſt. Nondum lætitiam ſalutaris Chriſti recuperauimus; ſtimulus enim mortis etiamnum nobis penitus eſt infixus. Nondum induimus nouum hominem, qui ſecundum Deum in ſanctitate & iuſtitia conditus eſt: quoniam veterem hominem qui ſecundum deſideria erroris corrumpitur, nondum exuimus. Nondum portauimus imaginem cœleſtis, conformes gloriæ ipſius facti, quia adhuc imaginem terreni portamus. Nondum adorauimus Deum in ſpiritu & veritate, quia adhuc regnat peccatum in mortali noſtro corpore. Nondum contemplati ſumus gloriam incorruptibilis Dei: adhuc namque ſub nocte illuni & obſcura iactamur. Nondum induimus arma lucis, quia nondum & arma & opera tenebrarum exuimus. Nondum transfigurati

A πονηροῦ, καταξιωθῶμεν τῆς υἱοθεσίας, εἰς μάτην πολιτευόμεθα, ὡς πόῤῥω τῆς δυνάμεως τοῦ σταυροῦ τυγχάνοντες. ὁ τοίνυν βουλόμενος μέτοχος γενέσθαι τῆς θείας δόξης καὶ ὥσπερ ἐν καθαρῷ κατόπτρῳ τὴν Χριστοῦ μορφὴν ὁρᾷν ἐν τῷ ἡγεμονικῷ αὐτοῦ, ὀφείλει ἀκορέστῳ στοργῇ, καὶ ἀπλήστῳ διαθέσει ἐξ ὅλης καρδίας καὶ δυνάμεως, νύκτωρ τε καὶ μεθ' ἡμέραν ζητεῖν τὴν ἐκ τοῦ Θεοῦ ἀντίληψιν ἐν δυνάμει· ἧς ἀμήχανον μετασχεῖν, εἰ μὴ, ὡς προείπομεν, πρότερον ἀπεχόμενον τῆς τοῦ κόσμου ἡδυπαθείας, τῶν τε ἐπιθυμιῶν τῆς ἐναντίας δυνάμεως, ἥ τις φωτὸς ἀλλοτρία ἐστὶ,

B καὶ ἐνεργείας ἀνοίκειος ἀγαθῆς, καὶ παντὴ ἀπεξενωμένη τυγχάνει. τοιγαροῦν εἴπερ βούλει μαθεῖν, τίνος ἕνεκεν κτισθέντες, καὶ τεθέντες ἐν παραδείσῳ, τελευταῖον συμπαρεβλήθημεν τοῖς ἀνοήτοις κτήνεσι, καὶ ὡμοιώθημεν αὐτοῖς, ἀποπεπτωκότες τῆς ἀχράντου δόξης· γίνωσκε ὅτι ἐπειδὴ διὰ τῆς παρακοῆς δοῦλοι τῆς σαρκὸς τοῖς πάθεσι γενόμενοι, ἑαυτοὺς ἀπῳκίσαμεν τῆς μακαρίας τῶν ζώντων χώρας, καὶ ἐν αἰχμαλωσίᾳ γενόμενοι, ἔτι ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος καθεζόμεθα, καὶ διὰ

C τὸ ἔτι ἐν Αἰγύπτῳ ἡμᾶς κατέχεσθαι. οὔπω ἐκληρονομήσαμεν τὴν γῆν τῆς ἐπαγγελίας, τὴν ῥέουσαν μέλι καὶ γάλα· οὔπω συνεφυράθημεν τῇ ζύμῃ τῆς εἰλικρινείας, ἀλλ' ἔτι ἐσμὲν ἐν τῇ τῆς πονηρίας ζύμῃ. οὔπω ἐῤῥαντίσθη ἡμῶν ἡ καρδία τῷ αἵματι τοῦ ἀμνοῦ τοῦ Θεοῦ, (ἔτι γὰρ τὸ πέταυρον τοῦ ᾅδου. καὶ τὸ ἄγκιστρον τῆς κακίας ἐμπέπηκται αὐτῇ.) οὔπω ἀπειλήφαμεν τὴν ἀγαλλίασιν τοῦ σωτηρίου τοῦ Χριστοῦ (ἔτι γὰρ τὸ κέντρον τοῦ θανάτου ἐμπέπαρται ἡμῖν) οὔπω ἐνεδυσάμεθα τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ δικαιοσύνῃ (ἐπειδὴ οὔπω ἀπεδυσάμεθα τὸν παλαιὸν ἄν-

D θρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης) οὔπω φορέσαντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, σύμμορφοι τῆς δόξης αὐτοῦ γεγόναμεν (ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν) οὔπω προσεκυνήσαμεν ἐν πνεύματι καὶ ἀληθείᾳ Θεῷ (διὰ τὸ ἔτι βασιλεύειν τὴν ἁμαρτίαν ἐν τῷ θνητῷ ἡμῶν σώματι·) οὔπω ἐθεασάμεθα τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ (ἔτι γὰρ ὑπὸ τῆς σκοτομήνης ἐνεργούμεθα) οὔπω ἐνεδυσάμεθα τὰ ὅπλα τοῦ φωτὸς, ἐπειδὴ οὔπω ἀπεδυσάμεθα τὰ τοῦ σκότους ὅπλα τε καὶ ἔργα. οὔπω μετεμορ-

φώθημεν τῇ ἀνακαινώσει τοῦ νοὸς (ἔτι γὰρ συσχηματιζόμεθα τῷ αἰῶνι τούτῳ, ἐν τῇ τοῦ νοὸς ματαιότητι·) οὔπω Χριστῷ συνεδοξάσθημεν, διὰ τὸ μὴ συμπαθεῖν ἡμᾶς αὐτῷ. οὔπω τὰ στίγματα αὐτοῦ ἐν τῷ σώματι ἡμῶν βαστάζομεν, γενόμενοι ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ τοῦ σταυροῦ· ἔτι γὰρ ἐσμὲν ἐν τοῖς σαρκικοῖς παθήμασι καὶ ἐν ταῖς ἐπιθυμίαις. οὔπω κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ γεγόναμεν· ἔτι γὰρ πνεῦμα δουλείας ἐνυπάρχει ἡμῖν, καὶ οὐχ υἱοθεσίας. οὔπω γεγόναμεν ναὸς Θεοῦ, καὶ οἰκητήριον πνεύματος ἁγίου· ἔτι γὰρ ἐσμὲν ναὸς εἰδώλων, καὶ δοχεῖον πνευμάτων πονηρίας, διὰ τὴν ἐπὶ τὰ πάθη ὁρμήν. ὄντως γὰρ ὄντως οὐδέπω τὸ ἀκέραιον τοῦ τρόπου καὶ τὴν τῆς διανοίας λαμπρότητα ἐκτησάμεθα. οὔπω κατηξιώθημεν τοῦ ἀδόλου καὶ λογικοῦ γάλακτος, καὶ τῆς νοητῆς αὐξήσεως. οὔπω ἡμῖν ἡμέρα ηὔγασεν, οὐδὲ ἑωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν ἀνέτειλεν. οὔπω συνεκεράσθημεν τῷ ἡλίῳ τῆς δικαιοσύνης, οὐδὲ ταῖς αὐγαῖς αὐτοῦ συνηστράψαμεν. οὔπω ἀπειλήφαμεν τὴν τοῦ κυρίου ὁμοίωσιν, οὐδὲ γεγόναμεν τῆς θείας κοινωνοὶ φύσεως. οὔπω γεγόναμεν ἄδολος πορφύρα βασιλική, οὐδὲ ἀνόθευτος εἰκὼν θεϊκή. οὔπω ἐτρώθημεν ὑπὸ τοῦ θείου ἔρωτος, οὐδὲ ἐπλήγημεν ὑπὸ τῆς πνευματικῆς ἀγάπης τοῦ νυμφίου. οὔπω τὴν ἀόρατον καὶ μυστικὴν κοινωνίαν ἐγνωρίσαμεν, οὐ τὴν ἐν ἁγιασμῷ δύναμιν καὶ εἰρήνην ἐπέγνωμεν. καὶ ἵνα συνελὼν τὰ πάντα εἴπω, οὔπω ἐσμὲν γένος ἐκλεκτόν· βασίλειον ἱεράτευμα. ἔθνος ἅγιον· λαὸς εἰς περιποίησιν. ἐπεὶ ἔτι ἐσμὲν ὄφεις, γεννήματα ἐχιδνῶν. πῶς γὰρ οὐκ ὄφεις, οἱ ἐπὶ γῆς συρόμενοι, καὶ τὰ τῆς γῆς φρονοῦντες, καὶ οὐκ ἐν οὐρανοῖς τὴν πολιτείαν ἔχοντες; πῶς δὲ οὐ γεννήματα ἐχιδνῶν, οἱ μὴ ἐν τῇ ὑπακοῇ τοῦ Θεοῦ εὑρισκόμενοι, ἀλλ' ἐν τῇ διὰ τοῦ ὄφεως παρακοῇ; ἐπεὶ τοίνυν πῶς μὲν ἀξίως ὀδύρωμαι τὴν συμφορὰν ταύτην, οὐχ εὑρίσκω, πῶς δὲ ἐκβοήσας δακρύσω πρὸς τὸν δυνάμενον ἐξελάσαι τὴν αὐλιζομένην ἐν ἐμοὶ πλάνην, ἀγνοῶ· καὶ πῶς ᾄσω τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας; πῶς θρηνήσω τὴν Ἱερουσαλήμ; πῶς ἀποφύγω τὴν μοχθηρὰν τοῦ Φαραὼ δουλείαν; πῶς καταλείψω τὴν αἰσχρὰν παροικίαν; πῶς ἀρνήσομαι τὴν πικρὰν τυραννίδα;

A sumus renouatione mentis: adhuc enim huic seculo, in vanitate mentis nostræ conformamur. Nondum cum Christo glorificati sumus, quia nondum illi compatimur. Nondum stigmata ipsius in corpore nostro in mysterio crucis constituti portauimus: adhuc enim sumus in desideriis & concupiscentiis carnis. Nondum sumus hæredes Dei, & cohæredes Christi facti: inest enim nobis adhuc spiritus seruitutis non adoptionis. Nondum facti sumus templum Dei & habitaculum spiritus sancti: sumus enim adhuc templum idolorum, & recepta-
B culum spirituum nequitiæ, propter affectuum impetum. Verè namque, verè, inquam, nondum animi & ingenij syncetitatem & mentis splendorem adepti sumus. Nondum potiti sumus lacte illo doli nescio & rationali, atque incremento spirituali. Nondum nobis dies illuxit, neque lucifer ortus est in cordibus nostris. Nondum Soli iustitiæ coadunati sumus: neq; vnà cum radiis illius coruscauimus. Nondum accepimus similitudinem domini, neque consortes facti sumus diuinæ naturæ. Nondum fa-
C cti sumus fuco carens purpura regia, neque germana imago diuina. Nondum ab amore Dei vulnerati sumus, neque spiritali charitate sponsi sauciati: Nondum inuisibilem & mysticam communionem cognouimus, nec potentiam & pacem quæ in sanctificatione sita est intelleximus. Et vt omnibus cōtractis summatim dicam, nondū sumus genus electum, regale sacerdotium, gens sancta, populus qui in lucrum accessit & peculium: quoniam adhuc serpentes sumus, progenies viperarum. Quomodo enim non sumus serpentes, qui super terram
D serpimus, & terrena sapimus, nec cōuersationem nostrā in cœlis habemus? Quomodo non progenies viperarum sumus, qui non in obedientia Dei, sed in obedientia quæ per serpentē est, deprehendimur? Quoniā igitur non inuenio, quomodo calamitatē istam deplorē, & ignoro, quomodo cum lacrymis eum, qui demorantem in me seductionē abigere & expellere potest, implorem: quomodo cantabo canticū Domini in terra aliena? Quomodo lamentabor ac deflebo Hierusalem? Quomodo effugiam molestam ac durā Pharaonis seruitutē? Quomodo relinquā turpem hunc incolatum? Quomodo renūtiabo acerbæ illius tyrannidi?

Quomodo Ægyptum egrediar? Quomodo mare rubum traiiciam? Quomodo terribilem solitudinem pertransibo? Quomodo à serpentibus ictus non peribo? Quomodo alienigenas debellabo? Quomodo gentes exterminabo? Quomodo tabulis meis excipiam diuinæ legis oracula? Quomodo videbo columnam veræ lucis, & spiritus sancti nubem? Quomodo fruar manna alimoniæ sempiternæ? Quomodo bibam aquam viuificantis Petræ? Quomodo transibo Iordanem, vt ingrediar bonam promissionis terram? Quomodo videbo principem exercitus, quem conspectum Iesus Naue, e vestigio Deum adorauit?
*Iof. 5.* Nisi enim superatis his omnibus exterminauero, quæ in me sunt gentes, nec ingrediar, nec requiescam in sanctuario, neque particeps ero gloriæ Dei. Satage igitur, vt fias immaculatus filius Dei, ingrediaréque in requiem illam, in quam præcursor noster Iesus nostri gratia intrauit. Cura vt conscribare in Ecclesia cœlesti cum primogenitis, vt inueniare ad dexteram magnificentiæ excelsi. Satage vt ingrediaris in sanctam ciuitatem Hierusalem supernam, & in delitias paradisi. Istis enim præclaris ac beatis exemplaribus non poteris alio pacto dignus haberi, nisi lachrymas instar torrentis noctésque diésque pro-
*Psal. 6. 7.* fundas, cum eo qui dixit, Lauabo per singulas noctes lectum meum, lachrymis meis stratum meum rigabo.
*Psal. 125.* Non enim ignoras, quod qui seminant in lachrymis cum gaudio metent.
*Psal. 41.* Quapropter & cum fiducia propheta dicit, ad lachrymas meas ne sileas. Et iterum, pone lachrymas meas in conspectu tuo, sicut & in promissione tua.
*Psal. 55. 9.* Et fuerunt mihi lachrymæ meæ panis die ac nocte. Et in alio psalmo. Et potum meum, inquit, cum fletu miscebam. Reuera namque ex ingenti adflictione, cordisque turbatione & feruenti æstuatione, in veritatis cognitione profusa lachryma, cibus est animæ, per cœlestem panem subministratus, cuius præcipuè particeps erat Maria ad pedes Domini sedens & lachrymans, secundum ipsius seruatoris testimonium,
*Luc. 10. 42.* dicentis, Maria autem optimam partem elegit, quæ non auferetur ab ea. O pretiosas lachrymas instar margaritarum è beatis illis oculis profluentes!

A πῶς ἐξέλθω ἐκ τῆς Αἰγύπτου; πῶς περάσω τὴν ἐρυθρὰν θάλασσαν; πῶς διέλθω τὴν φοβερὰν ἔρημον; πῶς μὴ ἀπόλωμαι δηχθεὶς ὑπὸ τῶν ὄφεων; πῶς νικήσω τοὺς ἀλλοφύλους; πῶς ἐξολοθρεύσω τὰ ἔθνη; πῶς δέξομαι ἐν ταῖς ἐμαῖς πλαξὶ τὰ λόγια τοῦ θείου νόμου; πῶς ὄψομαι τὸν στύλον τοῦ ἀληθινοῦ φωτὸς, καὶ τὸν ἐκ τοῦ ἁγίου πνεύματος νεφέλης; πῶς ἀπολαύσω τοῦ μάννα τῆς ἀϊδίου τροφῆς; πῶς πίω τὸ ἐκ τῆς ζωοποιοῦ πέτρας ὕδωρ; πῶς διέλθω τὸν Ἰορδάνην, ἵνα εἰσέλθω εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας; πῶς ἴδω τὸν ἀρ-
B χιστράτηγον, ὃν ἰδὼν Ἰησοῦς ὁ τοῦ Ναυὴ, πεσὼν παραχρῆμα προσεκύνησε τὸν Θεόν; ἐὰν γὰρ μὴ διὰ πάντων τούτων γενόμενος ἐξολοθρεύσω τὰ ἐν ἐμοὶ ἔθνη, οὐ μὴ εἰσελθὼν καταπαύσω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ. οὐ μὴ μέτοχος γένωμαι τῆς τοῦ Θεοῦ δόξης. τοιγαροῦν σπούδασον ἄμωμον τέκνον Θεοῦ γενέσθαι, καὶ εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. σπούδασον ἀπογραφῆναι ἐν τῇ ἐπουρανίῳ ἐκκλησίᾳ μετὰ τῶν πρωτοτόκων, ὅπως
C εὑρεθῇς ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ ὑψίστου. σπούδασον εἰσελθεῖν εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ τὴν ἀνωτάτην, καὶ εἰς τὴν τοῦ παραδείσου τρυφήν. τούτων γὰρ τῶν θαυμαστῶν καὶ μακαρίων παραδειγμάτων οὐκ ἑτέρως πως καταξιωθείης, εἰ μὴ καταφέρεις δάκρυα ὡς χειμάρρους κατὰ τὸν λέγοντα ἡμέρας τε καὶ νυκτὸς, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου. ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. οὐ γὰρ ἀγνοεῖς, ὅτι οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. διό φησι μετὰ παρρησίας ὁ προφήτης, τῶν δακρύων μου μὴ παρασιωπήσῃς. καὶ πάλιν· ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου,
D ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. καὶ ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ, ἄρτος ἡμέρας καὶ νυκτός. καὶ ἐν ἑτέρῳ ψαλμῷ φησι. καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. τῷ γὰρ ὄντι ἐκ πολλῆς θλίψεως, καὶ συνοχῆς καρδίας καὶ μετὰ πυρώσεως σπλάγχνων δάκρυον προχεόμενον ἐν γνώσει ἀληθείας, βρῶσίς ἐστι ψυχῆς χορηγουμένη ἐκ τοῦ ἐπουρανίου ἄρτου, οὗ προηγουμένως μετεῖχε Μαρία καθεσθεῖσα πρὸς τοῖς ποσὶ τοῦ κυρίου, καὶ δακρύουσα κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος μαρτυρίαν. φησὶ γάρ· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. ὢ τῶν πολυτιμήτων δακρύων ἐκείνων μαργαριτῶν δίκην ἀπορρεόντων τῶν μακαρίων ἐκείνης

ὀμμάτων! ὦ τῆς θείας ἐκείνης καὶ εὐπειθοῦς ἀκοῆς! ὦ τῆς ἀνδρείας, καὶ σοφῆς διανοίας! ὦ ὀξύτης πνευματικοῦ ἔρωτος, σφοδρῶς πρὸς τὸν ἄχραντον νυμφῶνα ἐπειγομένου! ὦ κέντρον πόθου ψυχῆς πρὸς τὸν Θεὸν λόγον! ὦ σπουδαίας κοινωνίας νύμφης πρὸς τὸν νυμφίον! μίμησαι ταύτην ὦ τέκνον, μίμησαι. πρὸς μηδὲν ἀφορῶν ἕτερον, ἢ πρὸς τὸν εἰπόντα, πῦρ ἦλθον βαλεῖν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη; ἔστι γὰρ πύρωσις τοῦ πνεύματος ἡ ἀναζωπυροῦσα καρδίας. διότι τὸ ἄϋλον καὶ θεῖον πῦρ φωτίζει μὲν ψυχάς, καὶ δοκιμάζει ἔσωθεν, ὥσπερ ἄδολον χρυσὸν ἐν καμίνῳ, κακίαν δὲ ἀναλίσκει, ὥσπερ καλάμην καὶ ἀκάνθας. ὁ γὰρ Θεὸς ἡμῶν, πῦρ καταναλίσκον ἐστὶ, διδοὺς ἐκδίκησιν ἐν πυρὶ φλογὸς τοῖς μὴ εἰδόσιν αὐτὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ αὐτοῦ. τοῦτο τὸ πῦρ ἐνήργησε τοῖς ἀποστόλοις, ἡνίκα ἐλάλουν πυρίναις γλώσσαις. τοῦτο τὸ πῦρ διὰ τῆς δόξης Παῦλον περιλαμψάμενον, τὴν μὲν αὐτοῦ διάνοιαν ἐφώτισε, τὴν δὲ αἴσθησιν τῆς ὄψεως ἠμαύρωσεν. οὐ γὰρ χωρεῖ σαρκὸς ὅρασις ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν. τοῦτο τὸ πῦρ ὤφθη Μωϋσεῖ ἐν τῇ βάτῳ. τοῦτο τὸ πῦρ ἐν εἴδει ὀχήματος τὸν Ηλίαν ἥρπασε. τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαβίδ, ἔλεγε· δοκίμασόν με κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου. τοῦτο τὸ πῦρ Κλεώπα καὶ τοῦ σὺν αὐτῷ τὰς καρδίας ἐθέρμαινε, λαλοῦντος αὐτοῖς τοῦ σωτῆρος μετὰ τὴν ἀνάστασιν. ὅθεν οἱ ἄγγελοι, καὶ τὰ λειτουργικὰ πνεύματα πῦρ φλέγον εἰσί. τοῦτο τὸ πῦρ, τὴν ἐν τῷ ἔνδον ὀφθαλμῷ δοκὸν κατακαῖον, καθαρὸν τὸν νοῦν ἀποκαθίστησιν. ἵνα ἀπολαβὼν τὸ κατὰ φύσιν διορατικὸν, ὁρᾷ διηνεκῶς τὰ τοῦ Θεοῦ θαυμάσια, κατὰ τὸν λέγοντα· ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. τοῦτο τοιγαροῦν τὸ πῦρ, δαιμόνων ἐστὶ φυγαδευτήριον, κακίας τε καυστικὸν, ἀναστάσεως δύναμις, καὶ ἀθανασίας ἐνέργεια, ψυχῶν ἁγίων φωτισμὸς, καὶ λογικῶν δυνάμεων σύστασις. τοῦτο τὸ πῦρ εὐξώμεθα καὶ εἰς ἡμᾶς φθάσαι, ἵνα πάντοτε ἐν φωτὶ περιπατοῦντες· μηδὲ πρὸς βραχὺ προσκόψωμεν ποτε· ἀλλ' ὡς φωστῆρες ἐν κόσμῳ φαινόμενοι, λόγον ζωῆς ἐπέχωμεν ἀϊδίως· ἵνα ἀπολαύοντες τοῦ Θεοῦ σὺν τῷ κυρίῳ ἡμῶν Ιησοῦ Χριστῷ ἐν ζωῇ ἀναπαυσώμεθα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A O diuinas illas & morigeras aures ! O
fortem ac ſapientem animum! O acrem
& ſpiritualem amorem, feruenter ad im-
maculatum ſponſum anhelantem ! O
ſtimulum deſiderij, animæ verbi Dei
cupidæ ! O ſtudioſum & irremiſſum
ſponſæ & ſponſi conſortium ! Imitare
Mariam hanc, ô fili, imitare, ad nihil
aliud reſpiciens quàm ad eum qui dixit.
Ignem veni mittere in terram. Et quid
volui, niſi vt iam eſſet accenſus? Eſt enim
inflammatio ſpiritus, corda excitans &
calefaciens. Propterea, quòd ſpiritalis ac
diuinus ignis animas quidem illuminat,
& probat internè, ſicut aurum ſyncerum
in camino probatur, malitiam vero con-
B ſumit, veluti ſtipulam ac ſpinas. Deus Deut. 4.
enim noſter ignis conſumens eſt, vltio- Act. 2.
nem in flamma ignis de illis ſumens, qui Act. 9.
ſe ignorant, & Euangelio ipſius non ob-
temperant. Hic eſt ignis ille, qui opera-
tus eſt in Apoſtolis, cum loquerentur
linguis ignitis. Hic ignis per gloriam
Chriſti, Paulum ſuo ſplendore vndique
circumfundens, mentem quidem illius
illuminauit, viſus vero corporis ſenſum
obſcurauit. Acies enim carnalis viſus lu-
cis illius vim non ſuſtinet. Hic ignis vi-
ſus eſt Moſi in rubo. Hic ignis Eliam in 4. Reg. 2.
ſpecie currus abripuit. Ignis huius effi-
caciã quærens beatus Dauid dixit. Pro- Pſal. 118.
C ba me Domine, & tenta me, vre renes 18.
meos & cor meum. Hic ignis Cleopæ &
eius qui cum ipſo erat corda calefecit,
cùm illis poſt reſurrectionem loquere- Luc. 24.
tur Dominus, vnde & Angeli, & admi-
niſtratorij ſpiritus, ignis exurens ſunt.
Hic ignis trabem illam qui intus eſt in
oculo noſtro comburens, mundam con-
ſtituit mentis aciem, vt recepta natiua
perſpicuitate, admiranda Dei opera
continuè videat, iuxta eum qui dixit:
Reuela oculos meos, & contemplabor
mirabilia ex lege tua. Hic itaque ignis
dæmonas fugat, malitiam exurit, reſur-
D rectionem potentia ſua & immortalita-
tem operatur, animas ſanctorum illu-
ſtrat, & rationales virtutes ſuffulcit.
Hunc ignem precemur vt & nos occu-
pet, vt ſemper in luce ambulantes, ne
modicè quidem vnquam offendamus;
ſed velut luminaria in mundo conſpicui
perpetuo ſermonem vitæ contineamus:
vt in bonis Dei cum domino noſtro Ieſu
Chriſto delicantes, in vita requieſca-
mus in ſeculorum ſecula. Amen.